HISTORIA PASSIONIS
DOMINI NOSTRI
IESV CHRISTI
HARMONICA

E GRAECO

IV. EVANGELISTARVM

TEXTV

IN VSVM

PRAELECTIONVM ACADEMICARVM

CONCINNATA


AB

AVGVSTO GESENIO.

GVELPHERBYTI


IMPENSIS IO. CHRISTOPH. MEISNERI.

MDCCXLV.



Academiae Iuliae ciuibus Philologiae ſacrae ſtudioſis

S.



Quum officii mei ratio id poſtulet, vt veſtris ſtudiis, quocumque modo fieri poſſit, pro viribus inſeruiam, eorum quoque deſiderio deeſſe non potui, qui ad luculentam noui inſtrumenti graeci cognitionem adſpirantes, vt hiſtoriam Paſſionis Domini noſtri IESV CHRISTI peculiari opera illuſtrandam ſumerem, philologiae ſacrae ſtudio concitati, optauerunt. Nouerant illi ſcilicet, inſigni philologiae ſacrae pariter ac profanae theſauro hanc hiſtoriae ſacrae partem eſſe refertam. Huic ergo ipſorum deſiderio, libenti prolixoque animo ſubſcripſi. At nec Vobis etiam ignotum erat, Paſſionis CHRISTI hiſtoriam a IV. Euangeliſtis ita eſſe conſcriptam, vt varias, quae ab vno enumerantur, circumſtantias in alterius volumine fruſtra quaeſiueritis: quin ipſum Matthaeum, caeteroquin reliquis prolixiorem, Iohanni tamen vindemiam ſatis largam

reliquisse colligendam. Ne igitur spe et desiderio vestro frustraremini, ipsum textum Graecum e Quatuoruirorum sanctorum libellis in vnum congessi, vt eo commodior foret totius huius historiae recensio et illustratio. Neque vobis, aut alii cuipiam nimis audax hoc institutum videbitur. Eumdem enim vsum, nec ille nihili fuit, quem praestitit Ecclesiae nostrae harmonia Passionis germanica, e Versione B. LVTHERI vernacula, ab illo magni nominis Theologo, BVGENHAGENIO, concinnata, quae Agendis Ecclesiarum nostrarum est annexa: haec etiam graeca nostra, iuuante DEO, in academiis et forsan scholis etiam, quantum auguror coniectura, praestabit. Rubra Sectionum maximam partem retinui e Cel. SCHOETGENII N. T. graeco, quod superiori anno, magno eruditorum, Criticorum praecipue, gaudio lucem vidit. De ordine, quo hanc disposui harmoniam, fusius in ipsis exponam praelectionibus: quibus igitur, vt ipso Vestro desiderio fiat satis, frequentes interesse, et industria Vestra meam rogo velitis sustentare indefessam, Vobis vestrisque studiis inseruiendi, promtitudinem. Valete. Dabam Helmestadii in academia Iulia, ipsis Cal. Aprilis M DCCXLV.

HISTO



HISTORIA
PASSIONIS CHRISTI
HARMONICA.

SECTIO I.

Sacerdotes et ſcribae de interficiendo Chriſto conſilia capiunt.

Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς Matth.26, 1.
πάντας τοὺς λόγους τούτους, εἶπε
τοῖς μαθηταῖς αὐτοῦ· Οἴδατε, 2.
ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα
γίνεται, ἡ ἑορτὴ τῶν ἀζύμων, καὶ ὁ υἱὸς τοῦ Luc. 22, 1.
ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.
Τότε συνήχθησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Matth.26, 3.
Γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς
τὴν αὐλὴν τοῦ Ἀρχιερέως, τοῦ λεγομένου
Καϊάφα, καὶ συνεβουλεύσαντο, ἵνα τὸν 4.
Ἰησοῦν κρατήσωσι δόλῳ, καὶ ἀποκτείνωσιν.
Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυ- 5.

Luc. 22, 1. βος γένηται ἐν τῷ λαῷ. Ἐφοβοῦντο γὰρ
τὸν λαόν.

SECTIO II.

Christus vngitur Bethaniae.

Matth.26,6. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰ-
7. κίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ
γυνὴ, ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου,
Marc. 14, 3. νάρδου πιστικῆς πολυτελοῦς, καὶ, συντρί-
ψασα τὸ ἀλάβαστρον, κατέχεεν ἐπὶ τὴν
Matth. 26,8. κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ
μαθηταὶ αὐτοῦ, ἠγανάκτησαν πρὸς ἑαυ-
Marc.14,4. τοὺς, λέγοντες· εἰς τί ἡ ἀπόλεια αὕτη τοῦ
5. μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο πραθῆ-
ναι ἐπάνω τριακοσίων δηναρίων, καὶ δοθῆ-
ναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ.
Matt. 26, 10. Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· ἄφετε αὐτήν·
Marc.14,6. τί αὐτῇ κόπους παρέχετε; ἔργον γὰρ καλὸν
7. εἰργάσατο εἰς ἐμέ. Πάντοτε γὰρ τοὺς πτωχοὺς
ἔχετε μεθ᾽ ἑαυτῶν, καὶ ὅταν θέλητε δύνα-
σθε αὐτοὺς εὐποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε
8. ἔχετε. ὃ εἶχεν αὕτη, ἐποίησε· βαλοῦσα
Math. 26,12. γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός
μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν.
13. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ
εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαλη-
θήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυ-
νον αὐτῆς.

SECTIO III.

Christus pedes Apostolorum lauat, addita admonitione.

Πρὸ δὲ τῆς ἑορτῆς τοῦ Πάσχα, εἰδὼς ὁ Ἰη- Ioh. 13, 1.
σοῦς, ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα, ἵνα μεταβῇ ἐκ
τοῦ κόσμου τούτου πρὸς τὸν πατέρα, ἀγα-
πήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ, εἰς τέ-
λος ἠγάπησεν αὐτούς. Καὶ δείπνου γενομέ- 2.
νου (τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν
καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα αὐ-
τὸν παραδῷ) εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα 3.
δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας, καὶ
ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν
ὑπάγει· ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τί- 4.
θησι τὰ ἱμάτια, καὶ, λαβὼν λέντιον, διέ-
ζωσεν ἑαυτόν. Εἶτα βάλλει ὕδωρ εἰς τὸν 5.
νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας
τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ,
ᾧ ἦν διεζωσμένος. Ἔρχεται οὖν πρὸς Σίμω- 6.
να Πέτρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε,
σύ μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη ὁ Ἰη- 7.
σοῦς καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ
οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει 8.
αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας
μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰη-
σοῦς· ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ'
ἐμοῦ. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, 9.
μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς
χεῖρας, καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ 10.
Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει, ἢ τοὺς

πόδας νίψασθαι, ἀλλ᾽ ἔστι καθαρὸς ὅλος.
11. Καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ᾽ οὐχὶ πάντες.
Ἤδει γὰρ τὸν παραδιδόντα αὐτὸν, διὰ τοῦ-
το εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε.

12. Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ
ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν,
εἶπεν αὐτοῖς· Γινώσκετε, τί πεποίηκα ὑμῖν;
13. Ὑμεῖς φωνεῖτέ με· Ὁ διδάσκαλος καὶ ὁ
14. κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ
οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ κύριος
καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλ-
15. λήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα
γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα
16. ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν λέ-
γω ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐ-
τοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος
17. αὐτόν. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε,
18. ἐὰν ποιῆτε αὐτά. Οὐ περὶ πάντων ὑμῶν
λέγω· ἐγὼ οἶδα, οὓς ἐξελεξάμην· ἀλλ᾽ ἵνα
ἡ γραφὴ πληρωθῇ· Ὁ τρώγων μετ᾽ ἐμοῦ
τὸν ἄρτον, ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρναν αὐ-
19. τοῦ. Ἀπ᾽ ἄρτι λέγω ὑμῖν, πρὸ τοῦ γενέ-
σθαι, ἵνα ὅταν γένηται, πιστεύσητε, ὅτι
20. ἐγώ εἰμι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν· ὁ λαμ-
βάνων, ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει·
ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμ-
ψαντά με.

SECTIO

SECTIO IV.

Christus proditionem suam praenunciat.

Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ Ioh. 13, 21.
πνεύματι, καὶ ἐμαρτύρησε, καὶ εἶπεν·
Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν
παραδώσει με. Ἔβλεπον οὖν εἰς ἀλλήλους 22.
οἱ μαθηταὶ, ἀπορούμενοι, περὶ τίνος λέγει.
Ἦν δὲ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ 23.
ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς.
Νεύει οὖν τούτῳ Σίμων Πέτρος, πυθέσθαι, 24.
τίς ἂν εἴη, περὶ οὗ λέγει. Ἐπιπεσὼν δὲ 25.
ἐκεῖνος ἐπὶ τὸ στῆθος τοῦ Ἰησοῦ, λέγει αὐτῷ·
Κύριε, τίς ἐστιν; Ἀποκρίνεται ὁ Ἰησοῦς· ἐκεῖ- 26.
νός ἐστιν, ᾧ ἐγὼ βάψας τὸ ψωμίον, ἐπι-
δώσω. Καὶ ἐμβάψας τὸ ψωμίον, δίδωσιν
Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. Καὶ μετὰ τὸ 27.
ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατα-
νᾶς. Λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· Ὃ ποιεῖς, 28.
ποίησον τάχιον. Τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν
ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ· Τινὲς 29.
γὰρ ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ
Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀγόρα-
σον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν· ἢ τοῖς
πτωχοῖς ἵνα τι δῷ. Λαβὼν οὖν τὸ ψωμίον 30.
ἐκεῖνος, εὐθέως ἐξῆλθεν· ἦν δὲ νύξ.

SECTIO V.

Iudas de proditione Christi tractat.

Luc. 22, 4. Καὶ ἀπελθὼν συνελάλησε τοῖς Ἀρχιε-
ρεῦσι, καὶ τοῖς ϛρατηγοῖς, τὸ, πῶς αὐτὸν
Matth.26,15. παραδῷ αὐτοῖς, (καὶ) εἶπε· Τί θέλετέ
Marc. 14, 11. μοι δοῦναι; κἀγὼ ὑμῖν παραδώσω αὐτόν.
Math.26, 15. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν· καὶ ἔϛησαν
Luc. 22, 6. αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἐξωμολό-
Math.26,16. γησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι
αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

SECTIO VI.

Christus de proxima glorificatione sua, de amore mutuo, et de abnegatione Petri suos monet.

Ioh. 13, 31. Ὅτε οὖν ἐξῆλθε, λέγει ὁ Ἰησοῦς· Νῦν
ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς
32. ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν
αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ,
33. καὶ εὐθὺς δοξάσει αὐτόν. Τεκνία, ἔτι μι-
κρὸν μεθ' ὑμῶν εἰμι· ζητήσετέ με, καὶ
καθὼς εἶπον τοῖς Ἰουδαίοις, ὅτι ὅπου ὑπά-
γω ἐγὼ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Καὶ ὑμῖν
34. λέγω ἄρτι· Ἐντολὴν καινὴν δίδωμι ὑμῖν,
ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα
ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους.
35. Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μα-
θηταί ἐϛε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.
36. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ

ὑπά-

ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου
ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι,
ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ 37.
Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκο-
λουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θή-
σω. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· τὴν ψυχήν σου 38.
ὑπὲρ ἐμοῦ θήσεις; Ἀμὴν ἀμὴν, λέγω σοι, οὐ μὴ
ἀλέκτωρ φωνήσει, ἕως οὗ ἀπαρνήσῃ με τρίς.

SECTIO VII.

Oratio Christi in triclinio habita continet

1. Consolationem propter calamitatem imminentem.

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύ- Ioh.14, 1.
ετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν 2.
τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν·
εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν· πορεύομαι ἑτοι-
μάσαι τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ, καὶ 3.
ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι, καὶ
παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα
ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ 4.
ὑπάγω, οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέ- 5.
γει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν, ποῦ
ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν
εἰδέναι;

2. *Adhortationem, ad fidem Christo habendam.*

Ioh.14. 6. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς
καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· Οὐδεὶς ἔρχε-
7. ται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. Εἰ
ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκει-
τε ἄν, καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν, καὶ
8. ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος·
Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ
9. ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρό-
νον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με,
Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πα-
τέρα· καὶ πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν
10. πατέρα; Οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πα-
τρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα,
ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ·
Ὁ δὲ πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ
11. τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ
πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ
12. τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν, ἀμὴν,
λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα, ἃ
ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα
τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα
13. μου πορεύομαι. Καὶ ὅ, τι ἂν αἰτήσητε ἐν
τῷ ὀνόματί μου, τοῦτο ποιήσω· ἵνα δοξα-
14. σθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. Ἐάν τι αἰτήσητε
15. ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. Ἐὰν ἀγα-
πᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε.

3. *Promissionem Spiritus Sancti.*

Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλ- Ioh.14,16.
λον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ'
ὑμῶν εἰς τὸν αἰῶνα· τὸ πνεῦμα τῆς ἀλη- 17.
θείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ
θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ
γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ
ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· 18.
ἔρχομαι πρὸς ὑμᾶς· Ἔτι μικρὸν, καὶ ὁ 19.
κόσμος με οὐκ ἔτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖ-
τέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν 20.
ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν
τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν
ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τη- 21.
ρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ
δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ
πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ
ἐμφανίσω αὐτῷ ἐμαυτόν. Λέγει αὐτῷ Ἰου- 22.
δας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, τί γέγονεν,
ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ
οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ 23.
εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λό-
γον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπή-
σει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα,
καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ μὴ 24.
ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ, καὶ ὁ
λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ
πέμψαντός με πατρός. Ταῦτα λελά- 25.
ληκα ὑμῖν, παρ' ὑμῖν μένων. Ὁ δὲ παρά- 26.
κλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ

πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς δι-
δάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα,
Ioh.14,27. ἃ εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν, εἰρή-
νην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος
δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω
28. ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. Ἠκούσατε,
ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω, καὶ ἔρχο-
μαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρη-
τε ἂν, ὅτι εἶπον· Πορεύομαι πρὸς τὸν πα-
29. τέρα· ὅτι ὁ πατήρ μου μείζων μου ἐστί. Καὶ
νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γέ-
30. νηται, πιστεύσητε. Οὐκ ἔτι πολλὰ λαλή-
σω μεθ᾽ ὑμῶν· Ἔρχεται γὰρ ὁ τοῦ κόσμου
τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.
31. Ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν
πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πα-
τὴρ, οὕτω ποιῶ, ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

SECTIO VIII.

Christus coenam paschalem comedit.

Luc. 22,7. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει
Marc.14,12. θύεσθαι τὸ Πάσχα. Καὶ τῇ πρώτῃ ἡμέρᾳ
τῶν ἀζύμων, προσῆλθον οἱ μαθηταὶ τῷ
Math.26,17. Ἰησοῦ, λέγοντες· Ποῦ θέλεις, ἀπελθόντες
Luc. 22, 8. ἑτοιμάσωμεν, ἵνα φάγῃς τὸ Πάσχα; Καὶ
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, Πέτρον
καὶ Ἰωάννην, εἰπών· πορευθέντες ἑτοιμά-
σατε ἡμῖν τὸ Πάσχα, ἵνα φάγωμεν. Οἱ
9. δὲ εἶπον αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμεν;
Marc.14,13. Ὁ δὲ εἶπεν αὐτοῖς· Ὑπάγετε εἰς τὴν πό-
λιν·

λιν· καὶ ἰδȣ̀, εἰσελθόντων ὑμῶν εἰς τὴν Luc. 22, 10.
πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος, κεράμιον
ὕδατος βαςάζων· ἀκολȣθήσατε αὐτῷ εἰς
τὴν οἰκίαν, ȣ̃ εἰσπορεύεται. Καὶ ἐρεῖτε τῷ οἰ- 11.
κοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ διδά-
σκαλος· ὁ καιρός μȣ ἐγγύς ἐςι· Πρός σε Math. 26, 18.
ποιῶ τὸ Πάσχα μετὰ τῶν μαθητῶν μȣ.
Πȣ̃ ἐςὶ τὸ κατάλυμα, ὅπȣ τὸ Πάσχα μετὰ Marc. 14, 14.
τῶν μαθητῶν μȣ φάγω; Καὶ αὐτὸς ὑμῖν 15.
δείξει ἀνώγεον μέγα ἐςρωμένον, ἕτοιμον·
ἐκεῖ ἑτοιμάσατε ἡμῖν. Καὶ ἐξῆλθον οἱ μα- 16.
θηταὶ αὐτȣ̃, καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ
εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν
τὸ Πάσχα. Καὶ ὀψίας γενομένης, ὅτε 17.
ἐγένετο ἡ ὥρα, ἔρχεται μετὰ τῶν δώδεκα, Luc. 22, 14.
καὶ ἀνέκειτο, καὶ οἱ δώδεκα ἀπόςολοι σὺν
αὐτῷ. Καὶ εἶπε πρὸς αὐτȣ̀ς· Ἐπιθυμίᾳ 15.
ἐπεθύμησα τȣ̃το τὸ Πάσχα φαγεῖν μεθ'
ὑμῶν, πρὸ τȣ̃ με παθεῖν. Λέγω γὰρ ὑμῖν, 16.
ὅτι ȣ̓κέτι ȣ̓ μὴ φάγω ἐξ αὐτȣ̃, ἕως ὅτȣ
πληρωθῇ ἐν τῇ βασιλείᾳ τȣ̃ Θεȣ̃. Καὶ δε- 17.
ξάμενος ποτήριον, εὐχαριςήσας εἶπε· Λά-
βετε τȣ̃το, καὶ διαμερίσατε ἑαυτοῖς. Λέγω 18.
γὰρ ὑμῖν, ὅτι ȣ̓ μὴ πίω ἀπὸ τȣ̃ γεννήματος
τῆς ἀμπέλȣ, ἕως ὅτȣ ἡ βασιλεία τȣ̃ Θεȣ̃
ἔλθῃ.

SECTIO IX.

Christus proditorem Iudam discipulis comedentibus indicat.

Matth. 26, Καὶ ἐσθιόντων αὐτῶν, εἶπεν ὁ Ἰησοῦς·
21-25. Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώ-
Marc. 14,18- σει με, ὁ ἐσθίων μετ᾽ ἐμοῦ. Καὶ, λυπούμενοι
12. σφόδρα, ἤρξαντο λέγειν αὐτῷ εἷς καθ᾽ εἷς·
Μήτι ἐγώ εἰμι, Κύριε; καὶ ἄλλος· μήτι
ἐγώ; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Εἷς
ἐκ τῶν δώδεκα, ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν τῷ
τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ
μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέ-
γραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ
ἐκείνῳ, δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδο-
ται. Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ
ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ Ἰούδας,
ὁ παραδιδοὺς αὐτὸν, εἶπε· Μηκέτι ἐγώ
εἰμι, Ῥαββί; λέγει αὐτῷ· Σὺ εἶπας.

SECTIO X.

Christus sacram coenam instituit.

Matt. 26,26. Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν
ἄρτον, καὶ εὐλογήσας, ἔκλασε, καὶ ἐδίδου
τοῖς μαθηταῖς, καὶ εἶπε· λάβετε, φάγε-
1 Cor. 11, 24. τε· τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν
25. κλώμενον· Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνά-
Matt. 26,27. μνησιν. Ὡσαύτως λαβὼν καὶ τὸ ποτήριον,
μετὰ τὸ δειπνῆσαι, καὶ εὐχαριστήσας, ἔδω-
28. κεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάν-

τες·

τες. Τ8το γάρ ἐςι τὸ αἷμά μ8, τὸ τῆς 1 Cor. 11, 25.
καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον
εἰς ἄφεσιν ἁμαρτιῶν. Τ8το ποιεῖτε, ὁσά-
κις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.
Καὶ ἔπιον ἐξ αὐτ8 πάντες. Καὶ εἶπεν Marc. 14, 24.
αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι 8κέ- 25.
τι 8 μὴ πίω ἀπ᾽ ἄρτι ἐκ τ8τ8 τ8 γεν-
νήματος τῆς ἀμπέλ8, ἕως τῆς ἡμέρας Matth. 26,
ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ᾽ ὑμῶν καινὸν 29.
ἐν τῇ βασιλείᾳ τ8 Πατρός μ8.

SECTIO XI.
Christus iterum de proditore suo loquutus, litem discipulorum de primatu dirimit.

Πλὴν ἰδ8, ἡ χεὶρ τ8 παραδιδόντος με Luc. 22, 21.
μετ᾽ ἐμ8 ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν 22.
υἱὸς τ8 ἀνθρώπ8 πορεύεται, κατὰ τὸ ὡρι-
σμένον· Πλὴν 8αὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι᾽
8 παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζη- 23.
τεῖν πρὸς ἑαυτ8ς, τὸ, τίς ἄρα εἴη ἐξ αὐ-
τῶν, ὁ τ8το μέλλων πράσσειν.

Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ, 24.
τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν 25.
αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύ8σιν
αὐτῶν, καὶ οἱ ἐξ8σιάζοντες αὐτῶν, εὐερ-
γέται καλ8νται. Ὑμεῖς δὲ 8χ 8τως· ἀλλ᾽ 26.
ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτερος.
Καὶ ὁ ἡγ8μενος, ὡς ὁ διακονῶν. Τίς γὰρ 27.
μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; 8χὶ
ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν
ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐςε οἱ διαμεμε- 28.

νηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου.
Luc. 22,29. Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι
30. ὁ Πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ
πίνητε ἐπὶ τῆς τραπέζης μου, ἐν τῇ βασι-
λείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων, κρί-
νοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

SECTIO XII.
Christus abnegationem et fugam suorum praedicit.

Luc. 22,31. Εἶπε δὲ ὁ Κύριος· Σίμων, ἰδοὺ ὁ Σατα-
νᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ συνιάσαι ὡς τὸν
32. σῖτον. Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ
ἐκλείπῃ ἡ πίστις σου. Καὶ σύ ποτε ἐπιστρέ-
33. ψας στήριξον τοὺς ἀδελφούς σου. Ὁ δὲ
εἶπεν αὐτῷ· Κύριε, μετά σου ἕτοιμός εἰμι
καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύε-
34. σθαι. Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε, οὐ
μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς
35. ἀπαρνήσῃ, μὴ εἰδέναι με. Καὶ εἶπεν αὐ-
τοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαν-
τίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή
τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὐδενός.
36. Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν, ὁ ἔχων βα-
λαντίον, ἀράτω, ὁμοίως καὶ πήραν· καὶ
ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ,
37. καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ
ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τε-
λεσθῆναι ἐν ἐμοί, τό· Καὶ μετὰ ἀνόμων
ἐλογίσθη. Καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος
38. ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ, μάχαιραι
ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστι.

SECTIO

SECTIO XIII.

Oratio Christi valedictoria, quae continet

I. Adhortationem

1) Ad constantiam.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Ioh. 15. 1.
πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα, ἐν 2.
ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ
πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα
πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθα- 3.
ροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν.
Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς 4.
τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽
ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως
οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ 5.
εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ
μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει
καρπὸν πολύν· Ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε
ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, 6.
ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη·
Καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι,
καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ 7.
ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε,
αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ 8.
ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν
φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί.
Καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἠγά- 9.
πησα ὑμᾶς· Μείνατε ἐν τῇ ἀγάπῃ τῇ
ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, με- 10.
νεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς
ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ

Ioh.15,11. μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελά-
ληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μεί-
νῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ.

2) Ad amorem mutuum.

12. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶ-
τε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.
13. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα
τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων
14. αὐτοῦ. Ὑμεῖς φίλοι μου ἐστὲ, ἐὰν ποιῆτε,
15. ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι ὑμᾶς
λέγω δούλους· ὅτι ὁ δοῦλος οὐκ οἶδε, τί ποιεῖ
αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι
πάντα, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου,
16. ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με ἐξελέξασθε,
ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα
ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέ-
ρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ, τι
ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου,
17. δῷ ὑμῖν. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα
ἀγαπᾶτε ἀλλήλους.

3) Ad patientiam.

18. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι
19. ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ
κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει·
ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ᾽ ἐγὼ ἐξελε-
ξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ
20. ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ
ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ
κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς
διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ
21. τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα

πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι
οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλ- Ioh.15,22.
θον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ
εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς
ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν 23.
πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίη- 24.
σα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν,
ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ ἑωράκασι, καὶ
μεμισήκασι καὶ ἐμὲ, καὶ τὸν πατέρα μου.
Ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμέ- 25.
νος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με
δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, 26.
ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, (τὸ
πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πα-
τρὸς ἐκπορεύεται,) ἐκεῖνος μαρτυρήσει
περὶ ἐμοῦ. Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι 27.
ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε. Ταῦτα λελάλη- Ioh. 16, 1.
κα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυν- 2.
αγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ᾽ ἔρχεται
ὥρα, ἵνα πᾶς, ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ
λατρείαν προσφέρειν τῷ Θεῷ. Καὶ ταῦ- 3.
τα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πα-
τέρα, οὐδὲ ἐμέ. Ἀλλὰ ταῦτα λελάληκα 4.
ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε
αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. Ταῦτα δὲ ὑμῖν
ἀπ᾽ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ᾽ ὑμῶν ἤμην.

II. Denunciationem passionis.

Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, 5.
καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις;
Ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη 6.
πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ᾽ 7.

ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει
ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ μὴ
ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται
πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐ-
Ioh.16, 8. τὸν πρὸς ὑμᾶς. Καὶ ἐλθὼν ἐκεῖνος ἐλέγ-
ξει τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ
9. δικαιοσύνης, καὶ περὶ κρίσεως. Περὶ
ἁμαρτίας μὲν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ.
10. Περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν πατέρα
11. μου ὑπάγω, καὶ οὐκ ἔτι θεωρεῖτέ με. Περὶ
δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου
12. κέκριται. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν,
t: Enchir. c.36 13. ἀλλ᾿ οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ
at. A. P. v. 39. ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας,
ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν.
Οὐ γὰρ λαλήσει ἀφ᾿ ἑαυτοῦ, ἀλλ᾿ ὅσα
ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα
14. ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι
ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.
15. Πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι. Διὰ
τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ
16. ἀναγγελεῖ ὑμῖν. Μικρὸν, καὶ οὐ θεωρεῖτέ
με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με, ὅτι
17. ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. Εἶπον οὖν
ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί
ἐστι τοῦτο, ὃ λέγει ὑμῖν· Μικρὸν, καὶ οὐ
θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψε-
σθέ με· καὶ, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν
18. πατέρα; Ἔλεγον οὖν. Τοῦτο τί ἐστιν, ὃ λέ-
γει, τὸ μικρόν; Οὐκ οἴδαμεν, τί λαλεῖ.
19. Ἔγνω οὖν ὁ Ἰησοῦς, ὅτι ἤθελον αὐτὸν ἐρω-
τᾷν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε
μετ᾿

μετ' ἀλλήλων, ὅτι εἶπον· Μικρὸν, καὶ οὐ
θεωρεῖτέ με, καὶ πάλιν μικρὸν, καὶ ὄψε-
σθέ με; Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύ- Ioh.16,20.
σετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος
χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ
λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. Ἡ γυ- 21.
νὴ, ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ
ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον,
οὐκ ἔτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν
χαρὰν, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν
κόσμον. Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχε- 22.
τε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσε-
ται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν
οὐδεὶς αἴρει ἀφ' ὑμῶν. Καὶ ἐν ἐκείνῃ τῇ 23.
ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν
ἀμὴν λέγω ὑμῖν· ὅτι, ὅσα ἂν αἰτήσητε
τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει
ὑμῖν. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ 24.
ὀνόματί μου. Αἰτεῖτε, καὶ λήψεσθε, ἵνα
ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα 25.
ἐν παροιμίαις λελάληκα ὑμῖν. Ἀλλ' ἔρ-
χεται ὥρα, ὅτε οὐκ ἔτι ἐν παροιμίαις λα-
λήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πα-
τρὸς ἀναγγελῶ ὑμῖν. Ἐν ἐκείνῃ τῇ ἡμέ- 26.
ρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· Καὶ οὐ
λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα
περὶ ὑμῶν. Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ 27.
ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πε-
πιστεύκατε, ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλ-
θον. Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ 28.
ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι
τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα.

Ioh.16,29. Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε,
νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδε-
30. μίαν λέγεις. Νῦν οἴδαμεν, ὅτι οἶδας
πάντα, καὶ οὐ χρείαν ἔχεις, ἵνα τίς σε
ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν, ὅτι ἀπὸ Θεοῦ
31. ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς·
32. Ἄρτι πιστεύετε; Ἰδοὺ, ἔρχεται ὥρα, καὶ
νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς
τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε. Καὶ οὐκ
εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι.
33. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην
ἔχητε. Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε· ἀλλὰ
θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

SECTIO XIV.
Preces Christi.

I. Pro manifestatione gloriae Patris et Filii.

Ioh. 17, 1. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε
τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ
εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξα-
σόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ
2. σε. Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης
σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ
3. αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώ-
νιος ζωὴ, ἵνα γινώσκωσί σε, τὸν μόνον ἀλη-
θινὸν Θεὸν, καὶ, ὃν ἀπέστειλας, Ἰησοῦν
4. Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς·
τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα
5. ποιήσω. Καὶ νῦν δόξασόν με, σὺ πάτερ,
παρὰ σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ
τὸν κόσμον εἶναι, παρὰ σοί.

II. Pro

II. Pro Apostolis.

Ἐφανέρωσά σȣ τὸ ὄνομα τοῖς ἀνθρώ- Ioh.17, 6.
ποις, ȣ̔̀ς δέδωκάς μοι ἐκ τȣ͂ κόσμȣ (σοὶ
ἦσαν, καὶ ἐμοὶ αὐτȣ̀ς δέδωκας) καὶ τὸν
λόγον σȣ τετηρήκασι. Νῦν ἔγνωκαν, ὅτι 7.
πάντα, ὅσα δέδωκάς μοι, παρὰ σȣ͂ ἐςιν.
Ὅτι τὰ ῥήματα, ἃ δέδωκάς μοι, δέδωκα 8.
αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν
ἀληθῶς, ὅτι παρὰ σȣ͂ ἐξῆλθον, καὶ ἐπί-
ςευσαν, ὅτι σύ με ἀπέςειλας. Ἐγὼ περὶ 9.
αὐτῶν ἐρωτῶ· ȣ̓ περὶ τȣ͂ κόσμȣ ἐρωτῶ,
ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι.
Καὶ τὰ ἐμὰ πάντα σά ἐςι· καὶ τὰ σὰ, 10.
ἐμά. Καὶ δεδόξασμαι ἐν αὐτοῖς. Καὶ ȣ̓κ 11.
ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ ȣ̔͂τοι ἐν τῷ κό-
σμῳ εἰσὶ, καὶ ἐγὼ πρός σε ἔρχομαι. Πά-
τερ ἅγιε, τήρησον αὐτȣ̀ς ἐν τῷ ὀνόματί
σȣ, ȣ̔̀ς δέδωκάς μοι, ἵνα ὦσιν ἓν, καθὼς
ἡμεῖς. Ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κό- 12.
σμῳ, ἐγὼ ἐτήρȣν αὐτȣ̀ς ἐν τῷ ὀνόματί σȣ·
ȣ̔̀ς δέδωκάς μοι, ἐφύλαξα, καὶ ȣ̓δεὶς ἐξ αὐ-
τῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας,
ἵνα ἡ γραφὴ πληρωθῇ. Νῦν δὲ πρός σε 13.
ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ,
ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμέ-
νην ἐν αὐτοῖς. Ἐγὼ δέδωκα αὐτοῖς τὸν 14.
λόγον σȣ, καὶ ὁ κόσμος ἐμίσησεν αὐτȣ̀ς,
ὅτι ȣ̓κ εἰσιν ἐκ τȣ͂ κόσμȣ, καθὼς ἐγὼ ȣ̓κ
εἰμι ἐκ τȣ͂ κόσμȣ. Οὐκ ἐρωτῶ, ἵνα ἄρῃς 15.
αὐτȣ̀ς ἐκ τȣ͂ κόσμȣ, ἀλλ᾽ ἵνα τηρήσῃς αὐ-
τȣ̀ς ἐκ τȣ͂ πονηρȣ͂. Ἐκ τȣ͂ κόσμȣ ȣ̓κ εἰσι, 16.
καθὼς ἐγὼ ἐκ τȣ͂ κόσμȣ ȣ̓κ εἰμι. Ἁγία- 17.

σον αὐτὲς ἐν τῇ ἀληθείᾳ σε· ὁ λόγος ὁ
Ioh.17,18. σὸς ἀλήθειά ἐςι. Καθὼς ἐμὲ ἀπέςειλας εἰς
τὸν κόσμον, κἀγὼ ἀπέςειλα αὐτὲς εἰς τὸν
19. κόσμον. Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυ-
τὸν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

III. *Pro omnibus fidelibus.*

20. Οὐ περὶ τέτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ
καὶ περὶ τῶν πιςευσόντων διὰ τε λόγε αὐ-
21. τῶν εἰς ἐμέ· Ἵνα πάντες ἓν ὦσι, καθὼς
σὺ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοὶ, ἵνα καὶ
αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιςεύ-
22. σῃ ὅτι σύ με ἀπέςειλας. Καὶ ἐγὼ τὴν
δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα
23. ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν ἐσμεν, (ἐγὼ ἐν αὐ-
τοῖς, καὶ σὺ ἐν ἐμοὶ,) ἵνα ὦσι τετελειωμέ-
νοι εἰς ἓν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι
σύ με ἀπέςειλας, καὶ ἠγάπησας αὐτὲς,
24. καθὼς ἐμὲ ἠγάπησας. Πάτερ, ἓς δέδω-
κάς μοι, θέλω, ἵνα, ὅπε εἰμὶ ἐγὼ, κἀ-
κεῖνοι ὦσι μετ' ἐμε, ἵνα θεωρῶσι τὴν δόξαν
τὴν ἐμὴν, ἣν ἔδωκάς μοι. ὅτι ἠγάπησάς με
25. πρὸ καταβολῆς κόσμε. Πάτερ δίκαιε, καὶ
ὁ κόσμος σε ἐκ ἔγνω· ἐγὼ δέ σε ἔγνων, καὶ
26. ἔτοι ἔγνωσαν, ὅτι σύ με ἀπέςειλας. Καὶ
ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σε, καὶ γνωρίσω·
ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐ-
τοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

SECTIO XV.

Christus lapsum discipulorum praenunciat.

Ioh. 18,1. Ταῦτα εἰπὼν ὁ Ἰησες ἐξῆλθε σὺν τοῖς

μα-

μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τοῦ Matt. 26,30.
Κεδρὼν, εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ὅπου ἦν
κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθη-
ταὶ αὐτοῦ. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· 31.
Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν
τῇ νυκτὶ ταύτῃ· Γέγραπται γάρ· Πατά-
ξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ
πρόβατα τῆς ποίμνης. Μετὰ δὲ τὸ ἐγερ- 32.
θῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.
Ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· Εἰ 33.
καὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ, ἐγὼ
οὐδέποτε σκανδαλισθήσομαι. Καὶ λέγει αὐ- Marc.14,30.
τῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι σήμερον
ἐν τῇ νυκτὶ ταύτῃ, πρὶν ἢ δὶς ἀλέκτορα
φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Ὁ δὲ ἐκ 31.
περισσοῦ ἔλεγε μᾶλλον· Ἐὰν μὲ δέῃ συνα-
ποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. Ὁ- Math. 26,35.
μοίως καὶ πάντες οἱ μαθηταὶ εἶπον.

SECTIO XVI.
Passio Christi in Gethsemane.

Τότε ἔρχεται μετ᾽ αὐτῶν ὁ Ἰησοῦς εἰς χω- Math.26,36.
ρίον, λεγόμενον Γεθσημανῆ· Γενόμενος δὲ Luc. 22, 40.
ἐπὶ τοῦ τόπου, λέγει τοῖς μαθηταῖς· Καθί- Math.26,36.
σατε αὐτοῦ, ἕως οὗ ἀπελθὼν προσεύξωμαι
ἐκεῖ· Προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πει- Luc. 22, 40.
ρασμόν. Καὶ παραλαβὼν τὸν Πέτρον, καὶ Math.26,37.
τοὺς δύο υἱοὺς Ζεβεδαίου, Ἰάκωβον καὶ Ἰωάν-
νην, μετ᾽ ἑαυτοῦ, ἤρξατο ἐκθαμβεῖσθαι καὶ Marc.14, 33.
ἀδημονεῖν. Τότε λέγει αὐτοῖς· Περίλυπός Math.26,38.
ἐστιν ἡ ψυχή μου ἕως θανάτου· Μείνατε ὧδε,
καὶ γρηγορεῖτε μετ᾽ ἐμοῦ. Καὶ αὐτὸς προ- Luc. 22, 41.
ελ-

ελθὼν μικρὸν, ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ
Marc.14, 35. λίθου βολὴν, καὶ θεὶς τὰ γόνατα ἔπεσεν
ἐπὶ τῆς γῆς, καὶ προσηύχετο, ἵνα, εἰ δυνατόν
ἐστι, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα. Καὶ ἔλεγεν·
36. Ἀββᾶ, ὁ πατὴρ, πάντα δυνατά σοι· παρ-
Luc. 22, 42. ένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· πλὴν
μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γενέσθω.
43. Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐπισχύ-
ων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτε-
44. νέστερον προσηύχετο. Ἐγένετο δὲ ὁ ἱδρὼς
αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος, καταβαίνον-
τες ἐπὶ τὴν γῆν.

45. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν
46. πρὸς τοὺς μαθητὰς αὐτοῦ, εὗρεν αὐτοὺς κοι-
μωμένους ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς·
Marc. 14,37. Τί καθεύδετε; Καὶ λέγει τῷ Πέτρῳ· Σί-
Matt.26,40. μων, καθεύδεις; Οὕτως οὐκ ἰσχύσατε μίαν
41. ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Ἀναστάντες
γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλ-
θητε εἰς πειρασμόν. Τὸ μὲν πνεῦμα πρό-
θυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Math.26,42. Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο
Marc. 14,39. τὸν αὐτὸν λόγον, εἰπών· Πάτερ μου, εἰ οὐ
δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ'
ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλη-
40. μά σου. Καὶ ὑποστρέψας, εὗρεν αὐτοὺς πά-
λιν καθεύδοντας· (ἦσαν γὰρ οἱ ὀφθαλμοὶ
αὐτῶν βεβαρημένοι, καὶ οὐκ ᾔδεισαν, τί αὐ-
Matth. 26, τῷ ἀποκριθῶσι.) Καὶ ἀφεὶς αὐτοὺς, ἀπ-
44. ελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν
αὐτὸν λόγον εἰπών.

45. Τότε ἔρχεται τὸ τρίτον πρὸς τοὺς μαθη-
τὰς

τὰς αὐτȣ̃, καὶ λέγει αὐτοῖς· Καθεύδετε
τὸ λοιπὸν, καὶ ἀναπαύεσθε. Ἀπέχει· Marc. 14,41.
ἰδȣ̀, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ
παραδίδοται εἰς τὰς χεῖρας τῶν ἁμαρτω-
λῶν. Ἐγείρεσθε, ἄγωμεν. Ἰδȣ̀, ἤγγικεν ὁ 42.
παραδιδȣ́ς με.

SECTIO XVII.

Christus capitur.

Ἤιδει δὲ καὶ Ἰȣ́δας, ὁ παραδιδȣ̀ς αὐτὸν, Ioh. 18,2.
τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ Ἰησȣ̃ς
ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτȣ̃. Ὁ ȣ̃ν Ἰȣ- 3.
δας, λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν Ἀρχιε-
ρέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ
μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Καὶ Math. 26,47.
εὐθέως, ἔτι αὐτȣ̃ λαλȣ̃ντος, ἰδȣ̀, παραγίνε- Marc. 14,43.
ται Ἰȣ́δας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ᾽ αὐ- 44.
τȣ̃ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύ-
λων, παρὰ τῶν Ἀρχιερέων, καὶ τῶν Γραμ-
ματέων, καὶ τῶν πρεσβυτέρων τȣ̃ λαȣ̃.
Ἰησȣ̃ς ȣ̃ν, εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ Ioh. 18,4.
αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε; 5.
Ἀπεκρίθησαν αὐτῷ· Ἰησȣ̃ν τὸν Ναζωραῖον.
Λέγει αὐτοῖς ὁ Ἰησȣ̃ς· Ἐγώ εἰμι. (Εἱστήκει 6.
δὲ καὶ Ἰȣ́δας, ὁ παραδιδȣ̀ς αὐτὸν, μετ᾽ αὐ-
τῶν.) Ὡς ȣ̃ν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι·
ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.
Πάλιν ȣ̃ν αὐτȣ̀ς ἐπηρώτησε· Τίνα ζητεῖτε; 7.
Οἱ δὲ εἶπον· Ἰησȣ̃ν τὸν Ναζωραῖον. Ἀπε- 8.
κρίθη ὁ Ἰησȣ̃ς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι. Εἰ
ȣ̃ν ἐμὲ ζητεῖτε, ἄφετε τȣ́τȣς ὑπάγειν. Ἵνα 9.
πληρωθῇ ὁ λόγος, ὃν εἶπε· Ὅτι, ȣ̀ς δέδωκάς
μοι, ȣ̓κ ἀπώλεσα ἐξ αὐτῶν ȣ̓δένα.

Matt. 26,48. Ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς ση-
Marc.14,44. μεῖον, λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρα-
τήσατε αὐτὸν, καὶ ἀπαγάγετε ἀσφαλῶς.
45. Καὶ ἐλθὼν, εὐθέως προσελθὼν τῷ Ἰησοῦ, φι-
Luc. 22, 47. λῆσαι αὐτὸν, εἶπε· χαῖρε Ῥαββί. Καὶ κατε-
Math.26,50. φίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ·
Luc. 22, 48. Ἑταῖρε, ἐφ᾽ ᾧ πάρει; Ἰούδα, φιλήματι τὸν
υἱὸν τοῦ ἀνθρώπου παραδίδως;
Matt. 26,50. Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας
αὐτῶν ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν.
Luc. 22, 49. Ἰδόντες δὲ οἱ περὶ αὐτὸν, τὸ ἐσόμενον, εἶπον
αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ;
Matt. 26, 51. Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, τῶν παρεστηκό-
Marc.14,47. των, Σίμων Πέτρος, ἔχων μάχαιραν, καὶ ἐκ-
Ioh. 18, 10. τείνας τῆς χεῖρα, ἀπέσπασε τὴν μάχαιραν
αὐτοῦ, καὶ πατάξας τὸν τοῦ Ἀρχιερέως δοῦ-
λον, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ
Luc. 22, 51. ὄνομα τῷ δούλῳ Μάλχος. Ἀποκριθεὶς δὲ ὁ
Math.26,52. Ἰησοῦς εἶπεν· Ἐᾶτε ἕως τούτου. Τότε λέγει
ὁ Ἰησοῦς τῷ Πέτρῳ· Ἀπόστρεψόν σου τὴν
μάχαιραν εἰς τὸν τόπον αὐτῆς· Πάντες
γὰρ, οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ
53. ἀπολοῦνται. Ἢ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι
παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει
μοι πλείους, ἢ δώδεκα λεγεῶνας ἀγγέλων;
54. Πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ, ὅτι οὕτω δεῖ
Ioh. 18, 11. γενέσθαι; Τὸ ποτήριον, ὃ δέδωκέ μοι ὁ Πα-
Luc. 22, 51. τὴρ, οὐ μὴ πίω αὐτό; Καὶ ἁψάμενος τοῦ
ὠτίου αὐτοῦ, ἰάσατο αὐτόν.
Math. 26,55. Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς πρὸς τοὺς
Luc. 22, 52. παραγενομένους ἐπ᾽ αὐτὸν Ἀρχιερεῖς, καὶ
στρατηγοὺς τοῦ ἱεροῦ, καὶ πρεσβυτέρους· Ὡς

ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ
ξύλων. Καθ᾽ ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν Luc. 22, 53.
ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽
ἐμέ· Ἀλλ᾽ αὕτη ὑμῶν ἐστιν ἡ ὥρα, καὶ ἡ ἐξου-
σία τοῦ σκότους. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα Math.26,56.
πληρωθῶσιν αἱ γραφαὶ τῶν Προφητῶν. Τό-
τε οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν, ἔφυ-
γον. Καὶ εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ, Marc. 14, 51.
περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ· καὶ κρα-
τοῦσιν αὐτὸν οἱ νεανίσκοι. Ὁ δὲ, καταλιπὼν 52.
τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ᾽ αὐτῶν.

SECTIO XVIII.

Passio Christi apud summum sacerdotem. Interseritur lapsus Petri.

Ἡ οὖν σπεῖρα, καὶ ὁ χιλίαρχος, καὶ οἱ ὑπη- Ioh. 18, 12.
ρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ
ἔδησαν αὐτόν. Καὶ ἀπήγαγον αὐτὸν πρὸς 13.
τὸν Ἄνναν πρῶτον· Ἦν γὰρ πενθερὸς τοῦ
Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου.
Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰου- 14.
δαίοις· ὅτι συμφέρει, ἕνα ἄνθρωπον ἀπολέ-
σθαι ὑπὲρ τοῦ λαοῦ. Ἀπέστειλεν οὖν αὐτὸν ὁ 24.
Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν Ἀρχιε-
ρέα, ὅπου πάντες οἱ Ἀρχιερεῖς, καὶ οἱ γραμ- Math.26,57.
ματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν.
Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ Ioh. 18, 15.
ἄλλος μαθητής. Ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν
γνωστὸς τῷ Ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ
Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ Ἀρχιερέως.

Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ Math.26,59.
συνέδριον ὅλον, ἐζήτουν ψευδομαρτυρίαν κατὰ

τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι, καὶ οὐχ
Matt.26,60. εὗρον. Πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽
Marc.14,56. αὐτοῦ· καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. Ὕστε-
Matt.26,60. ρον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶ-
61. πον· Οὗτος ἔφη· δύναμαι καταλῦσαι τὸν
ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι
Marc.14,57. αὐτόν. Καί τινες ἀναστάντες ἐψευδομαρτύ-
58. ρουν κατ᾽ αὐτοῦ λέγοντες· Ὅτι ἡμεῖς ἠκούσα-
μεν αὐτοῦ λέγοντος· ὅτι ἐγὼ καταλύσω τὸν
ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν
ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω.
59. Καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.
60. Καὶ ἀναστὰς ὁ Ἀρχιερεὺς εἰς τὸ μέσον,
61. ἐπηρώτησε τὸν Ἰησοῦν, λέγων· Οὐκ ἀποκρί-
νῃ οὐδέν, τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ
Math.26,63. ἐσιώπα, καὶ οὐδὲν ἀπεκρίνατο. Καὶ ἀποκρι-
θεὶς ὁ Ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε
Marc.14,61. κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ
Matt.26,64. εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ εὐλογητοῦ; Λέ-
γει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας. Πλὴν λέγω
ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου
καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρ-
65. χόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ
Ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, λέγων·
ὅτι ἐβλασφήμησε· Τί ἔτι χρείαν ἔχομεν
μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν
66. αὐτοῦ. Τί ὑμῖν δοκεῖ; Οἱ δὲ πάντες ἀποκρι-
θέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί.
Ioh.18,16. Ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω.
Ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνω-
στὸς τῷ Ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ
Math.26,58. εἰσήγαγε τὸν Πέτρον. Καὶ εἰσελθὼν ἔσω,
ἐκά-

ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος.
Λέγει οὖν ἡ θυρωρὸς, μία τῶν παιδισκῶν τοῦ Ioh. 18, 17.
Ἀρχιερέως, τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν Marc. 14, 66.
μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Ὁ δὲ ἠρνή- Matt. 26, 70.
σατο ἔμπροσθεν πάντων, λέγων· οὐκ εἰμί· οὐκ Ioh. 18, 17.
οἶδα, τί λέγεις. Καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προ- Marc. 14, 68.
αύλιον· καὶ ἀλέκτωρ ἐφώνησε. Εἱστήκεισαν δὲ Ioh. 18, 18.
οἱ δοῦλοι καὶ οἱ ὑπηρέται, ἀνθρακιὰν πεποιη-
κότες, ὅτι ψύχος ἦν, καὶ ἐθερμαίνοντο. Ἦν δὲ
μετ᾽ αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

Ὁ οὖν Ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ 19.
τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐ-
τοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥη- 20.
σίᾳ ἐλάλησα τῷ κόσμῳ. Ἐγὼ πάντοτε ἐδί-
δαξα ἐν τῇ συναγωγῇ, καὶ ἐν τῷ ἱερῷ, ὅπου
πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυ-
πτῷ ἐλάλησα οὐδέν. Τί με ἐπερωτᾷς; ἐπε- 21.
ρώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς·
ἴδε, οὗτοι οἴδασιν, ἃ εἶπον ἐγώ. Ταῦτα δὲ αὐ- 22.
τοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκὼς
ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών. Οὕτως ἀπο- 23.
κρίνῃ τῷ Ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰη-
σοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ
τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;

Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμε- 25.
νος· εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μαθη-
τῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος μετ᾽ ὅρκου, καὶ
εἶπεν· Οὐκ εἰμὶ, οὐκ οἶδα τὸν ἄνθρωπον. Matt. 26, 72.

Καὶ ἤρξαντό τινες ἐμπτύειν τῷ Ἰησοῦ, καὶ Marc. 14, 65.
περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ, καὶ κολα-
φίζειν αὐτὸν, καὶ λέγειν αὐτῷ· προφήτευσον Matt. 26, 68.

ἡμῖν, Χριϛὲ, τίς ἐϛιν ὁ παίσας σε; καὶ οἱ
ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλον.
Luc. 22, 59. Καὶ μετὰ μικρὸν, διαϛάσης ὡσεὶ ὥρας μιᾶς
προσελθόντες οἱ παρεϛῶτες, εἶπον τῷ Πέτρῳ·
Matt. 26,73. Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος
Ioh.18, 26. εἶ, καὶ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Λέγει εἷς ἐκ
τῶν δούλων τοῦ Ἀρχιερέως, συγγενὴς ὢν, οὗ ἀπέ-
κοψε Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ
Matt. 26,74. κήπῳ μετ᾽ αὐτοῦ; Τότε ἤρξατο καταναθεμα-
τίζειν, καὶ ὀμνύειν· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον.
Luc. 22, 60. Καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐκ δευ-
Marc.14, 72. τέρου ἀλέκτωρ ἐφώνησε. Καὶ ϛραφεὶς ὁ Κύριος
Luc. 22, 61. ἐνέβλεψε τῷ Πέτρῳ· Καὶ ὑπεμνήσθη ὁ Πέτρος
τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ· Ὅτι πρὶν
ἀλέκτορα φωνῆσαι δὶς, ἀπαρνήσῃ με τρίς.
62. Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος, ἔκλαυσε πικρῶς.
63. Καὶ οἱ ἄνδρες, οἱ συνέχοντες τὸν Ἰησοῦν, ἐνέ-
64. παιζον αὐτῷ, δέροντες. Καὶ, περικαλύψαντες
αὐτὸν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ ἐπηρώ-
των αὐτὸν, λέγοντες· Προφήτευσον, τίς ἐϛιν ὁ
65. παίσας σε; Καὶ ἕτερα πολλὰ βλασφημοῦντες
ἔλεγον εἰς αὐτόν.

SECTIO XIX.

Passio Christi coram Synedrio.

Luc. 22, 66. Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυ-
τέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς,
καὶ συμβούλιον ἔλαβον κατὰ τοῦ Ἰησοῦ, ὥϛε θα-
Matt. 27,1. νατῶσαι αὐτόν· Καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ
Luc.22, 67. συνέδριον ἑαυτῶν, λέγοντες· Εἰ σὺ εἶ ὁ Χριϛὸς,
68. εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ
μὴ πιϛεύσητε· Ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ
69. ἀποκριθῆτέ μοι, ἢ ἀπολύσατε. Ἀπὸ τοῦ νῦν
ἔϛαι

ἔσαι ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ καθήμενος ἐκ δεξιῶν
τῆς δυνάμεως τȣ̃ Θεȣ̃. Εἶπον δὲ πάντες· Σὺ Luc. 22, 70.
ȣ̃ν εἶ ὁ υἱὸς τȣ̃ Θεȣ̃; Ὁ δὲ πρὸς αὐτȣ̀ς ἔφη·
Ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι. Οἱ δὲ εἶπον· Τί 71.
ἔτι χρείαν ἔχομεν μαρτυρίας; Αὐτοὶ γὰρ
ἠκȣ́σαμεν ἀπὸ τȣ̃ σόματος αὐτȣ̃.

SECTIO XX.

Passio Christi coram Pilato.

Interseritur narratio de interitu Iudae.

Καὶ δήσαντες τὸν Ἰησȣ̃ν, ἀπήγαγον ἀπὸ Matth. 27,2.
τȣ̃ Καϊάφα εἰς τὸ πραιτώριον, ϗ παρέδωκεν αὐ-
τὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι· ἦν δὲ πρωΐα. Ioh. 18, 28.
Καὶ αὐτοὶ ȣ̓κ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα
μὴ μιανθῶσιν, ἀλλ᾽ ἵνα φάγωσι τὸ Πάσχα.

Τότε ἰδὼν Ἰȣ́δας, ὁ παραδιδȣ̀ς αὐτὸν, ὅτι Matth. 27,3.
κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριά-
κοντα ἀργύρια τοῖς ἀρχιερεῦσι ϗ τοῖς πρεσ-
βυτέροις, λέγων· Ἥμαρτον, παραδȣ̀ς αἷμα 4.
ἀθῶον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; Σὺ ὄψει. 5.
Καὶ, ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρη-
σε· Καὶ ἀπελθὼν ἀπήγξατο, καὶ, πρηνὴς Act. 1, 18.
γενόμενος, ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα
τὰ σπλάγχνα αὐτȣ̃. Οἱ δὲ ἀρχιερεῖς, λα- Matth. 27,6.
βόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν
αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι.
Συμβȣ́λιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν 7.
τὸν ἀγρὸν τȣ̃ κεραμέως, εἰς ταφὴν τοῖς ξένοις.
Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικȣ̃σιν Ἱε- Act. 1, 19.
ρȣσαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ
ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμὰ, τȣτέστι, χω-
ρίον αἵματος, ἕως τῆς σήμερον. Τότε ἐπλη- Matth. 27,8.
ρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίȣ τȣ̃ προφήτȣ, λέ-

Matth. 27,9. γοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια
(τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο) ἀπὸ
10. υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν
τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.
Ioh. 18, 29. Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς ἔξω, καὶ
εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀν-
30. θρώπου τούτου; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ·
Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώ-
31. καμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λά-
βετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρί-
32. νατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν
οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα. Ἵνα ὁ λόγος τοῦ
Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων, ποίῳ θανά-
Luc. 23, 2. τῳ ἤμελλεν ἀποθνήσκειν. Ἤρξαντο δὲ κατη-
γορεῖν αὐτοῦ, λέγοντες· Τοῦτον εὕρομεν διαστρέ-
φοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους
διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.
Matth.27,11. Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ Ἡγεμόνος· Ὁ
Luc. 23, 3. δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν, λέγων. Σὺ εἶ
ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς
Matt. 27, 12. αὐτῷ ἔφη· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖ-
σθαι αὐτὸν ὑπὸ τῶν Ἀρχιερέων καὶ τῶν πρεσ-
Marc. 15,3. βυτέρων πολλὰ, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει
Matt. 27, 13. αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις, πόσα σου κατα-
14. μαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ
ἓν ῥῆμα· ὥστε θαυμάζειν τὸν ἡγεμόνα λίαν.
Ioh. 18, 33. Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πι-
λάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ·
Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη
34. αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις,
35. ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλά-
τος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν

καὶ

ϗ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· Τί ἐποίη-
σας; Ἀπεκρίθη ὁ Ἰησȣ̃ς· Ἡ βασιλεία ἡ ἐμὴ Ioh. 18, 36.
ȣ̓κ ἔςιν ἐκ τȣ̃ κόσμȣ τȣ́τȣ· εἰ ἐκ τȣ̃ κόσμȣ
τȣ́τȣ ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ
ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰȣδαί-
οις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ ȣ̓κ ἔςιν ἐντεῦθεν.
Εἶπεν ȣ̃ν αὐτῷ ὁ Πιλάτος· Οὐκȣ̃ν βασιλεὺς 37.
εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησȣ̃ς· Σὺ λέγεις, ὅτι
βασιλεύς εἰμι ἐγώ. Ἐγὼ εἰς τȣ̃το γεγέννη-
μαι, καὶ εἰς τȣ̃το ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα
μαρτυρήσω τῇ ἀληθείᾳ· Πᾶς, ὁ ὢν ἐκ τῆς
ἀληθείας, ἀκȣ́ει μȣ τῆς φωνῆς. Λέγει αὐτῷ
ὁ Πιλάτος· Τί ἐςιν ἀλήθεια; 38.
Καὶ τȣ̃το εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τȣ̀ς Luc. 23, 4.
Ἰȣδαίȣς, καὶ εἶπε πρὸς τȣ̀ς Ἀρχιερεῖς ϗ τȣ̀ς
ὄχλȣς· Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ
τȣ́τῳ. Οἱ δὲ ἐπίσχυον, λέγοντες· Ὅτι ἀνα- 5.
σείει τὸν λαὸν, διδάσκων καθ' ὅλης τῆς Ἰȣ-
δαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας, ἕως ὧδε.

SECTIO XXI.

Passio Christi coram Herode.

Πιλάτος δὲ ἀκȣ́σας Γαλιλαίαν, ἐπηρώτη- 6.
σεν, εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐςι; Καὶ ἐπι- 7.
γνȣ̀ς, ὅτι ἐκ τῆς ἐξȣσίας Ἡρώδȣ ἐςὶν, ἀνέπεμ-
ψεν αὐτὸν πρὸς Ἡρώδην, ὄντα καὶ αὐτὸν ἐν
Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. Ὁ δὲ 8.
Ἡρώδης, ἰδὼν τὸν Ἰησȣ̃ν, ἐχάρη λίαν. Ἦν γὰρ
θέλων ἐξ ἱκανȣ̃ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκȣ́ειν πολ-
λὰ περὶ αὐτȣ̃· ϗ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ'
αὐτȣ̃ γινόμενον. Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις 9.
ἱκανοῖς· αὐτὸς δὲ ȣ̓δὲν ἀπεκρίνατο αὐτῷ.
Εἱςήκεισαν δὲ οἱ Ἀρχιερεῖς ϗ οἱ γραμματεῖς, 10.

Luc. 23, 11. εὐτόνως κατηγοροῦντες αὐτοῦ. Ἐξουθενήσας
δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐ-
τοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα
λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.
12. Ἐγένοντο δὲ φίλοι, ὅ, τε Πιλάτος καὶ ὁ Ἡρώ-
δης, ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων. Προϋ-
πῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

SECTIO XXII.

Pilatus Christum dimittere frustra tentat.

13. Πιλάτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς,
καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν, εἶπε πρὸς αὐ-
14. τούς· Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον,
ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ, ἐνώ-
πιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώ-
πῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ.
15. Ἀλλ᾽ οὐδὲ Ἡρώδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς
αὐτόν· καὶ ἰδοὺ, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπρα-
16. γμένον αὐτῷ. Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.
Matt. 27, 15. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν
16. ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τό-
Luc. 23, 19. τε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν, ὅστις
ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ
Marc. 15, 7. φόνον, μετὰ τῶν συστασιαστῶν δεδεμένος (καὶ)
8. βεβλημένος εἰς φυλακήν. Καὶ ἀναβοήσας ὁ
ὄχλος ἤρξατο αἰτεῖσθαι, καθὼς ἀεὶ ἐποίει αὐ-
Matt. 27, 17. τοῖς. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ
Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραβ-
Marc. 15, 9. βᾶν; ἢ Ἰησοῦν, τὸν λεγόμενον Χριστὸν, τὸν βασι-
10. λέα τῶν Ἰουδαίων; Ἐγίνωσκε γὰρ, ὅτι διὰ
φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς.
Matt. 27, 19. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε
πρὸς

πρὸς αὐτὸν ἡ γυνὴ αὐτȣ͂, λέγȣσα· Μηδέν σοι
καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον
σήμερον κατ᾽ ὄναρ δι᾽ αὐτόν. Οἱ δὲ ἀρχιερεῖς Math.27,20.
καὶ οἱ πρεσβύτεροι ἔπεισαν τȣ̀ς ὄχλȣς, ἵνα αἰτή-
σωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησȣ͂ν ἀπολέσω-
σιν. Ἐκραύγασαν ȣ͂ν παμπληθεὶ, λέγοντες· Ioh. 18, 40.
Αἶρε τȣ͂τον, ἀπόλησον δὲ ἡμῖν τὸν Βαραββᾶν. Luc. 23, 18.
Πάλιν ȣ͂ν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπο- 20.
λύσαι τὸν Ἰησȣ͂ν· Τίνα θέλετε ἀπὸ τῶν δύο Matt. 27, 21.
ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον· Βαραββᾶν. Λέ- 22.
γει αὐτοῖς ὁ Πιλάτος· Τί ȣ͂ν θέλετε ποιήσω Marc. 15, 12.
Ἰησȣ͂ν, τὸν λεγόμενον Χριςὸν, ὃν λέγετε βασι-
λέα τῶν Ἰȣδαίων; Οἱ δὲ ἐπεφώνȣν, λέγοντες· Luc. 23, 21.
Σταύρωσον, ςαύρωσον αὐτόν. Ὁ δὲ τρίτον εἶπε 22.
πρὸς αὐτȣ́ς· Τί γὰρ κακὸν ἐποίησεν ȣ͂τος;
ȣ̓δὲν αἴτιον θανάτȣ εὗρον ἐν αὐτῷ· παιδεύσας
ȣ͂ν αὐτὸν ἀπολύσω. Οἱ δὲ ἐπέκειντο φωναῖς 23.
μεγάλαις, αἰτȣ́μενοι, αὐτὸν ςαυρωθῆναι· καὶ
κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

SECTIO XXIII.

Christus, ludibrio expositus, tandem condemnatur.

Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι ȣ̓δὲν ὠφελεῖ, ἀλλὰ Math.27,24.
μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ἀπενί-
ψατο τὰς χεῖρας ἀπέναντι τȣ͂ ὄχλȣ, λέγων·
Ἀθῶός εἰμι ἀπὸ τȣ͂ αἵματος τȣ͂ δικαίȣ τȣ́τȣ·
ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε·
Τὸ αἷμα αὐτȣ͂ ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα 25.
ἡμῶν. Τότε ὁ Πιλάτος, βȣλόμενος τῷ ὄχλῳ Marc. 15, 15.
τὸ ἱκανὸν ποιῆσαι, ἐπέκρινε γενέσθαι τὸ αἴτη- Luc. 23, 24.
μα αὐτῶν. Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ ςάσιν 25.
καὶ φόνον βεβλημένον εἰς τὴν φυλακὴν, ὃν

ἠτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

Matt. 27,27. Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, συνήγαγον
28. ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ, ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην.
29. Καὶ, πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμ-
Marc. 15,18. προσθεν αὐτοῦ, ἤρξαντο ἀσπάζεσθαι αὐτόν·
Ioh. 19, 3. Χαῖρε βασιλεῦ τῶν Ἰουδαίων. Καὶ ἐδίδουν
Matt. 27,30. αὐτῷ ῥαπίσματα. Καὶ, ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.

Ioh. 19. 4. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶ-
5. τε, ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. (Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον.) Καὶ λέ-
6. γει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε. Ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ
7. αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν Θεοῦ ἐποίησεν.
8. Ὅτι οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον,
9. μᾶλλον ἐφοβήθη, καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.
10. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς;

οὐκ οἶδας, ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰη- Ioh. 19,11.
σοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ
μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ πα-
ραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. Ἐκ 12.
τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν. Οἱ
δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον
ἀπολύσης, οὐκ εἶ φίλος τοῦ Καίσαρος. Πᾶς ὁ 13.
βασιλέα αὐτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.
Ὁ οὖν Πιλάτος, ἀκούσας τοῦτον τὸν λόγον,
ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ
βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον,
Ἑβραϊστὶ δὲ Γαββαθᾶ, (ἦν δὲ παρασκευὴ τοῦ 14.
Πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη) καὶ λέγει τοῖς Ἰου-
δαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγα- 15.
σαν· Ἆρον ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐ-
τοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώ-
σω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχο-
μεν βασιλέα, εἰ μὴ Καίσαρα. Τότε οὖν 16.
παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.

SECTIO XXIV.

Christus cruci adfixus moritur.

Καὶ, ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν Matt. 27,31.
τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια Marc. 15,20.
αὐτοῦ τὰ ἴδια, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ
σταυρῶσαι. Καὶ, βαστάζων τὸν σταυρὸν αὐτοῦ, Ioh. 19,17.
ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς
λέγεται Ἑβραϊστὶ Γολγοθᾶ.

Καὶ, ὡς ἀπήγαγον αὐτὸν, εὗρον παράγοντά Luc. 23, 26.
τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, Matt. 27,32.
τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου· τοῦτον Marc. 15,21.

ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ, (καὶ)
ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν, φέρειν ὄπισθεν
Luc. 23, 27. τοῦ Ἰησοῦ. Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος
τοῦ λαοῦ, καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο καὶ
28. ἐθρήνουν αὐτόν. Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ
Ἰησοῦς, εἶπε· Θυγατέρες Ἱερουσαλὴμ, μὴ
κλαίετε ἐπ᾽ ἐμὲ, πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε,
29. καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. Ὅτι ἰδοὺ, ἔρχονται ἡμέ-
ραι, ἐν αἷς ἐροῦσι· Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι,
30. αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ, οἳ οὐκ ἐθήλασαν. Τό-
τε ἄρξονται λέγειν τοῖς ὄρεσι· Πέσετε ἐφ᾽ ἡ-
31. μᾶς· καὶ τοῖς βουνοῖς· Καλύψατε ἡμᾶς. Ὅτι
εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ
32. ξηρῷ τί γένηται; Ἤγοντο δὲ καὶ ἕτεροι δύο
κακοῦργοι, σὺν αὐτῷ ἀναιρεθῆναι.
Matt. 27,33. Καὶ, ἐλθόντες εἰς τόπον λεγόμενον Γολγο-
34. θᾶ, ὅς ἐστι λεγόμενος κρανίου τόπος, ἔδωκαν
αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ
Marc. 15, 25. γευσάμενος οὐκ ἤθελε πιεῖν. Ἦν δὲ ὥρα τρί-
Luc. 23, 34. τη, καὶ ἐσταύρωσαν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἔλεγε·
Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί ποιοῦσι.
Ioh. 19, 23. Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰη-
σοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ (καὶ ἐποίησαν
τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος,) καὶ
τὸν χιτῶνα. Ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν
ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου. Εἶπον οὖν πρὸς ἀλ-
24. λήλους· Μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν
περὶ αὐτοῦ, τίνος ἔσται. Ἵνα ἡ γραφὴ πληρω-
θῇ ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου
ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον
κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.
Ioh. 19,18. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστὰς, ἐντεῦ-

θεν καὶ ἐντεῦθεν, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐω- Marc.14,27.
νύμων, μέσον δὲ τὸν Ἰησοῦν. Καὶ ἐπληρώθη ἡ 28.
γραφὴ, ἡ λέγουσα· Καὶ μετὰ ἀνόμων ἐλογίσθη.
Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ Ioh. 19,19.
ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. Καὶ ἦν ἡ ἐπιγραφὴ Marc. 15,26.
τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη ἐπ᾽ αὐτῷ Luc. 23, 38.
γράμμασιν Ἑλληνικοῖς, καὶ Ῥωμαϊκοῖς, καὶ
Ἑβραϊκοῖς· ΟΥΤΟΣ ΕΣΤΙΝ ΙΗΣΟΥΣ
Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ
ΙΟΥΔΑΙΩΝ. Τοῦτον οὖν τὸν τίτλον πολλοὶ Ioh. 19, 20.
ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς
πόλεως ὁ τόπος, ὅπου ἐσαυρώθη ὁ Ἰησοῦς. Ἔλε- 21.
γον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων·
Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ᾽ ὅτι
ἐκεῖνος εἶπε· βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπε- 22.
κρίθη ὁ Πιλάτος· Ὃ γέγραφα, γέγραφα.

Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐ- Matt.27,39.
τὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέ-
γοντες· Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν 40.
ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· Εἰ υἱὸς εἶ
τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σαυροῦ. Ὁμοίως 41.
δὲ καὶ οἱ Ἀρχιερεῖς ἐξεμυκτήριζον ἐμπαίζον- Luc. 23, 35.
τες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέ-
ρων, λέγοντες· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύ- Matt. 27,42.
ναται σῶσαι. Σωσάτω ἑαυτὸν, εἰ οὗτός ἐστιν ὁ Luc. 23, 35.
Χριστὸς, ὁ τοῦ Θεοῦ ἐκλεκτός. Εἰ βασιλεὺς Matt. 27,42.
Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σαυροῦ,
ἵνα ἴδωμεν, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν Marc. 15, 32.
ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει
αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ εἰμι υἱός. Matt. 27,43.

Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, Luc. 23, 36.
προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ,
καὶ

Luc. 23, 37. καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰου-
39. δαίων, σῶσον σεαυτόν. Εἷς δὲ τῶν κρεμα-
σθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων·
Εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς.
40. Ἀποκριθεὶς δὲ ὁ ἕτερος, ἐπετίμα αὐτῷ, λέ-
γων· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐ-
41. τῷ κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια
γὰρ, ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος
42. δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ·
Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασι-
43. λείᾳ σου. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέ-
γω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.
Ioh. 19, 25. Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ
μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ,
Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδα-
26. ληνή. Ἰησοῦς οὖν, ἰδὼν τὴν μητέρα, καὶ τὸν μα-
θητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ μητρὶ
27. αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ
μαθητῇ· Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης
τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια.
Luc. 23, 44. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ'
45. ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης, καὶ ἐσκοτίσθη ὁ
Matt. 27,46. ἥλιος. Περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ
Marc. 15,34. Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· Ἐλωΐ, Ἐλωΐ,
λαμμᾶ σαβαχθανί; Ὅ ἐστι μεθερμενευόμενον·
Ὁ Θεός μου, ὁ Θεός μου, εἰς τί με ἐγκατέλι-
35. πες; Καί τινες τῶν παρεστηκότων ἀκούσαντες
Matt. 27,47. ἔλεγον· Ἰδοὺ, Ἠλίαν φωνεῖ οὗτος. Μετὰ τοῦ-
48. το εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται,
Ioh. 19, 28. ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ. Σκεῦ-
29. ος οὖν ἔκειτο ὄξους μεστόν. Καὶ εὐθέως δραμὼν
Matt. 27,48. εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε

ὄξους

ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν.
Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν, εἰ ἔρχεται Matt.27, 49.
Ἠλίας, σώσων αὐτόν. Ὅτε οὖν ἔλαβε τὸ ὄξος Ioh. 19, 30.
ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται. Καὶ πάλιν κρά- Matt. 27,50.
ξας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς Luc. 23, 46.
χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου·
Καὶ ταῦτα εἰπὼν, καὶ κλίνας τὴν κεφαλὴν, Ioh. 19, 30.
παρέδωκε τὸ πνεῦμα.

SECTIO XXV.

Miraculosi et alii euentus post mortem Christi.

Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη Matt. 27, 51.
εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω· Καὶ ἡ γῆ
ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν. Καὶ τὰ 52.
μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα
τῶν κεκοιμημένων ἁγίων ἠγέρθη· Καὶ ἐξελ- 53.
θόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν
αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνε-
φανίσθησαν πολλοῖς. Ἰδὼν δὲ ὁ Κεντυρίων ὁ Marc. 15,39.
παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτως κρά-
ξας ἐξέπνευσεν, ἐδόξασε τὸν Θεόν. Καὶ οἱ μετ' Luc. 23, 47.
αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σει- Matt. 27,54.
σμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα,
λέγοντες· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος
(καὶ) υἱὸς ἦν Θεοῦ. Καὶ πάντες οἱ συμπαρα- Marc.15, 39.
γενόμενοι ὄχλοι, ἐπὶ τὴν θεωρίαν ταύτην, θεω- Luc. 23, 48.
ροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ
στήθη, ὑπέστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ 49.
γνωστοὶ αὐτοῦ μακρόθεν. Ἦσαν δὲ καὶ ἐκεῖ Marc. 15,40.
γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι,
ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μα- Matt. 27, 55.
ρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μήτηρ, Marc. 15, 41.
καὶ

*καὶ Σαλώμη ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου, αἳ
καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ,
καὶ διεκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ συν-
αναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.*

SECTIO XXVI.

Latus Christi perfoditur.

Ioh.19,31. Οἱ οὖν Ἰουδαῖοι (*ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ
τὰ σώματα ἐν τῷ σαββάτῳ· ἐπεὶ παρα-
σκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ
σαββάτου*) *ἠρώτησαν τὸν* Πιλάτον, *ἵνα κατε-
αγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν.*
32. Ἦλθον *οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου
κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυ-*
33. *ρωθέντος αὐτῷ.* Ἐπὶ *δὲ τὸν* Ἰησοῦν *ἐλθόν-
τες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέα-*
34. *ξαν αὐτοῦ τὰ σκέλη.* Ἀλλ' *εἷς τῶν στρατιω-
τῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ*
35. *εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.* Καὶ *ὁ ἑωρα-
κὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ
μαρτυρία· κἀκεῖνος οἶδεν, ὅτι ἀληθῆ λέγει,*
36. *ἵνα ὑμεῖς πιστεύσητε.* Ἐγένετο *γὰρ ταῦτα,*
37. *ἵνα ἡ γραφὴ πληρωθῇ·* Ὀστοῦν *οὐ συντριβήσε-
ται αὐτοῦ.* Καὶ *πάλιν ἑτέρα γραφὴ λέγει·*
Ὄψονται *εἰς ὃν ἐξεκέντησαν.*

SECTIO XXVII.

Christi sepultura.

Marc. 15,42. Καὶ *ἤδη ὀψίας γενομένης* (*ἐπεὶ ἦν παρα-*
Matt. 27,57. *σκευὴ, ὅ ἐστι προσάββατον*) *ἦλθεν ἄνθρω-*
Luc. 23, 50. *πος πλούσιος ἀπὸ* Ἀριμαθαίας, *πόλεως τῶν*
Ἰουδαίων, *τοὔνομα* Ἰωσὴφ, *εὐσχήμων βουλευ-
τὴς,*

τὴς, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, ὃς καὶ αὐ-
τὸς ἐμαθήτευσε τῷ Ἰησοῦ, προσδεχόμενος
τὴν βασιλείαν τοῦ Θεοῦ. Οὗτος οὐκ ἦν συγ- Luc. 23, 51.
κατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐ-
τῶν, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ, Ioh. 19, 38.
διὰ τὸν φόβον τῶν Ἰουδαίων. Οὗτος, τολ- Matt. 27, 58.
μήσας, εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσα-
το τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύ- Marc. 15, 43.
μασεν, εἰ ἤδη τέθνηκε· καὶ, προσκαλεσά- 44.
μενος τὸν Κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν,
εἰ πάλαι ἀπέθανε; Καὶ, γνοὺς ἀπὸ τοῦ 45.
Κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ.
Καὶ, ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν, 46.
ἐνείλησε τῇ σινδόνι καθαρᾷ. Matt. 27, 59.
Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς Ioh. 19, 39.
τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα
σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.
Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν 40.
αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς
ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν τῷ 41.
τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κή-
πῳ μνημεῖον καινὸν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη.
Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, 42.
ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν, Matt. 27, 60.
ἐν τῷ μνημείῳ, ὃ ἐλατόμησεν [ὁ Ἰωσὴφ]
ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας (αὐτὸς)
λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν.
Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, ἡ Luc. 23, 55.
Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ, καὶ Marc. 15, 47.
Σαλώμη, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ 16, 1.
ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον,
καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ, καθήμεναι Matt. 27, 61.
ἀπέναν-

Luc. 23, 56. ἀπέναντι τ8 τάφ8. Ὑποςρέψασαι δὲ ἡτοί-
μασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν σάβ-
βατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

SECTIO XXVIII.

Sepulchrum Christi vigiliis custoditur.

Matt. 27,62. Τῇ δὲ ἐπαύριον, ἥτις ἐςὶ μετὰ τὴν παρα-
σκευὴν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φα-
63. ρισαῖοι πρὸς Πιλάτον, λέγοντες· Κύριε,
ἐμνήσθημεν, ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν, ἔτι
64. ζῶν· Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευ-
σον ἂν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρί-
της ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ
αὐτ8 νυκτὸς κλέψωσιν αὐτὸν, καὶ εἴπωσι
τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔςαι
65. ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη
δὲ αὐτοῖς ὁ Πιλάτος· Ἔχετε κ8ςωδίαν·
66. ὑπάγετε, ἀσφαλίσασθε, ὡς οἴδατε. Οἱ
δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον,
σφραγίσαντες τὸν λίθον μετὰ
τῆς κ8ςωδίας.

LIPSIAE,

LITERIS BREITKOPFIANIS.

